σοὶ καλὸς οὐκ ἐφάνη Θήρων; ἀλλ' αὐτὸς ὑπέστης
 οὐδὲ Διὸς πτήξας πῦρ τὸ κεραυνοβόλον;
τοιγάρ, ἰδού, τὸν πρόσθε λάλον προὔθηκεν ἰδέσθαι
 δεῖγμα θρασυστομίης ἡ βαρύφρων Νέμεσις.

## XCVII

ἤν τι πάθω, Κλεόβουλε, — τὸ γὰρ πλέον ἐν πυρὶ παίδων
 βαλλόμενος κεῖμαι, — λείψανον ἐν σποδιῇ,
λίσσομαι, ἀκρήτῳ μέθυσον πρὶν ὑπὸ χθόνα θέσθαι,
 κάλπιν ἐπιγράψας "δῶρον Ἔρως Ἀίδῃ".

## XCVIII

λευκανθὴς Κλεόβουλος, ὁ δ' ἀντία τοῦδε μελίχρους
 Σώπολις, οἱ δισσοὶ Κύπριδος ἀνθοφόροι.
τοὔνεκά μοι παίδων ἔπεται πόθος, οἱ γὰρ Ἔρωτες
 πλέξαι κἀκ λευκοῦ φασί με καὶ μέλανος.

## XCIX

ἠγρεύθην ⟨ὁ⟩ πρόσθεν ἐγώ ποτε τοῖς δυσέρωσι
 κώμοις ἠιθέων πολλάκις ἐγγελάσας·
καί μ' ἐπὶ σοῖς ὁ πτανὸς Ἔρως προθύροισι, Μυΐσκε,
 στῆσεν ἐπιγράψας "σκῦλ' ἀπὸ Σωφροσύνης".

## C

ἁβρούς, ναὶ τὸν Ἔρωτα, τρέφει Τύρος· ἀλλὰ Μυΐσκος
 ἔσβεσεν ἐκλάμψας ἀστέρας ἠέλιος.